Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: fau-aa

Ἀριστοκράτης ὁ Λακεδαιμόνιος · Aristocrates of Sparta

# Fragments on Spartan Customs

*Ἀποσπάσματα περὶ τῶν Λακωνικῶν Ἐθῶν*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-7 ΛΑΚΩΝΙΚΑ. E LIBRO QUARTO.

1 (t) Athenaeus III: «Ἐπιμηλὶς δὲ καλεῖται (φησὶ Πάμφιλος) τῶν ἀπίων τι γένος.» Ἑσπερίδων δὲ μῆλα οὕτως καλεῖσθαί τινά φησι Τιμαχίδας ἐν τῷ τετάρτῳ Δείπνων. Καὶ ἐν Λακεδαίμονι δὲ παρατίθεσθαι τοῖς θεοῖς φησι Πάμφιλος ταῦτα· εὔοσμα δὲ εἶναι καὶ ἄβρωτα, καλεῖσθαι δ' Ἑσπερίδων μῆλα. Ἀριστοκράτης γοῦν ἐν τετάρτῳ Λακωνικῶν· «Ἔτι δὲ μῆλα καὶ τὰς λεγομένας Ἑσπερίδας.» Plutarch. [5]

2 Lyc. c. 4: Ὅτι δὲ καὶ Λιβύην καὶ Ἰβηρίαν ἐπῆλθεν ὁ Λυκοῦργος, καὶ περὶ τὴν Ἰνδικὴν πλανηθεὶς τοῖς γυμνοσοφισταῖς ὡμίλησεν, οὐδένα πλὴν Ἀριστοκράτη τὸν Ἱππάρχου Σπαρτιάτην εἰρηκότα γινώσκομεν. Idem ib. [5]

3 c. 31: Ἀριστοκράτης δ' ὁ Ἱππάρχου φησὶ τοὺς ξένους τοῦ Λυκούργου τελευτήσαντος ἐν Κρήτῃ καῦσαι τὸ σῶμα καὶ διασπεῖραι τὴν τέφραν εἰς τὴν θάλασσαν, αὐτοῦ δεηθέντος καὶ φυλαξαμένου, μή ποτε ἄρα τῶν λειψάνων εἰς Λακεδαίμονα κομισθέντων, ὡς ἐπανήκοντος αὐτοῦ καὶ τῶν ὅρκων λελυμένων, μεταβάλωσι τὴν πολιτείαν. Idem Philopoem. [5]

4 c. 16 Χρόνῳ δ' ὕστερον ἐγκαλέσας τι τοῖς Λακεδαιμονίοις στρατηγῶν ὁ Φιλοποίμην τοὺς μὲν φυγάδας κατήγαγεν εἰς τὴν πόλιν, ὀγδοήκοντα δὲ Σπαρτιάτας ἀπέκτεινεν, ὡς Πολύβιός φησιν, ὡς δ' Ἀριστοκράτης, πεντήκοντα καὶ τριακοσίους, τὰ δὲ τείχη καθεῖλε, χώραν δὲ πολλὴν ἀποτεμόμενος προσένειμε τοῖς Μεγαλοπολίταις κτλ. Stephan. [5]

5 Byz.: Ἀβαντὶς, ἡ Εὔβοια, ... ἐκλήθη δὲ ἀπὸ Ἄβαντος τοῦ Ἀργείου ἢ τοῦ υἱοῦ Ποσειδῶνος καὶ Ἀρεθούσης, ὡς Ἀριστοκράτης. Schol.

6 Sophocl. Trach. 266: Κρεώφυλος δὲ β', Ἀριστοκράτης δὲ γ', Τοξέα, Κλύτιον, Δηίονα. Schol.

7* Aristophan. Nub. 971: ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος, ὡς Ἀριστοφάνης φησὶ καὶ Ἀριστοκράτης.